Αἰ. Δίκαιος ὁ λόγος. κἄν τι πηρώσω γέ σοι
Τὸν παῖδα τύπτων, τἀργύριόν σοι κείσεται;
Ξανθ. Μὴ δῆτ᾽ ἔμοιγ᾽. οὕτω δὲ βασάνιζ᾽ ἀπαγαγών,
Αἰ. Αὐτοῦ μὲν οὖν. ἵνα σοι κατ᾽ ὀφθαλμοὺς λέγῃ.
Κατάθου σὺ τὰ σκεύη ταχέως, χὤπως ἐρεῖς
Ἐνταῦθα μηδὲν ψεῦδος. Δι. ἀγορεύω τινί,
Ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ᾽. εἰ δὲ μή,
Αὐτὸς σὺ σαυτὸν αἰτιῶ. Αἰ. λέγεις δὲ τί;
Δι. Ἀθάνατος εἶναί φημι Διόνυσος Διός,
Τοῦτον δὲ δοῦλον. Αἰ. ταῦτ᾽ ἀκούεις; Ξαν. φήμ᾽ ἐγώ.
Καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος.
Εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται.
Δι. Τί δῆτ᾽, ἐπειδὴ καὶ σὺ φῂς εἶναι θεός,
Οὐ καὶ σὺ τύπτει, τὰς ἴσας πληγὰς ἐμοί;
Ξανθ. Δίκαιος ὁ λόγος. χὠπότερον ἂν νῷν ἴδοις
Κλαύσαντα πρότερον, ἢ προτιμήσαντά τι
Τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.
Αἰ. Οὐκ ἔσθ᾽ ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ.
Χωρεῖς γὰρ εἰς τὸ δίκαιον. ἀποδύεσθε δή.
Ξανθ. Πῶς οὖν βασανιεῖς νὼ δικαίως; Αἰ. ῥᾳδίως.
Πληγὴν παρὰ πληγὴν ἑκάτερον. Ξανθ. καλῶς λέγεις.
Ἰδού, σκόπει γ᾽, ἤν με παρακινήσαντ᾽ ἴδῃς.
Αἰ. Ἤδη ᾽πάταξά σ᾽. Ξανθ. οὐ μὰ Δί᾽. Αἰ. οὐδ᾽ ἐμοὶ δοκεῖς.
Ἀλλ᾽ εἶμ᾽ ἐπὶ τονδὶ καὶ πατάξω. Δι. πηνίκα;
Αἰ. Καὶ δὴ ᾽πάταξα. Δι. κᾆτα πῶς οὐκ ἔπταρον;
Αἰ. Οὐκ οἶδα. τουδὶ δ᾽ αὖθις ἀποπειράσομαι.
Ξανθ. Οὔκουν ἀνύσεις; ἰατταταῖ. Αἰ. τί δὴ ταταῖ;
Μῶν ὠδυνήθης; Ξα. οὐ μὰ Δί᾽, ἀλλ᾽ ἐφρόντισα,

A *ÆA. Recte mones. sed si mutilauero tibi*
*Seruum verberibus, an pretium reddendum erit?*
*XA. Minimè. sed abduce, & sic illum examina.*
*ÆA. Imò hoc ipso loco, vt in faciem dicat tibi.*
*Age tu, vasa hæc depone statim: sed ne quod hîc*
*Mendacium mihi proferas. BA. at ego tibi*
B *Edico, ne me torqueas, qui sum Deus.*
*Sin minus, accusa tu ipse teipsum. ÆA. quid ais?*
*BA. Dico me Dionysum esse filium Iouis,*
*Hunc verò seruum. ÆA. Audin' tu ista? XA. haud equidem nego,*
*Et proinde verberandus est atrociùs.*
*Si enim Deus est, nihil plagarum sentiet.*
*BA. Cur ergo non & tu mecum vapulas,*
C *Quandoquidem & tute affirmas esse te Deum?*
*XA. Rectè monet. age tu, vtrum nostrûm videris*
*Prius plorare, aut magni pendere verbera,*
*Dum vapulat, hunc tu ne deinceps habeas pro Deo.*
*ÆA. Non est, vt te non generosum virum autumem,*
D *Quoniam in ius concedis: agite vestes ponite.*
*XA. Quomodo nos iure torquebis? ÆA. facillimè.*
*Plagas alternatim incutiam. XA. pulcerrimè.*
*Eccum, an videas moueri me indecentiùs.*
*ÆA. Nunquid percussi te? XA. non, per Iouem. ÆA. neque*
*Tu mihi videre: agè hunc adibo, atque feriam.*
E *BA. Quando? ÆA. nunquid te tetigi? BA. at cur non sternui?*
*ÆA. Nescio. sed de hoc iterum faciam periculum.*
*XA. Cur non properas? eheu eheu. ÆA. quid hoc rei est,*
*Eheu, eheu? númnam dolet? XA. nō per Iouem,*

Σχόλια. Κἄν τι πηρώσω.] ἐὰν βλάψω μέρος τοῦ σώματος τοῦ παιδὸς τύπτων, τὴν τιμὴν λήψῃ. Μὴ δῆτ᾽ ἔμοιγε.] οἷον ἄνευ τιμῆς οὐδὲν θέλω ὑπὲρ αὐτοῦ. τινὲς δὲ μὴ δῆτ᾽ ἐμέ γε, τοῦτον δὲ βασάνιζ᾽ ἀπαγαγών αὐτοῦ μὲν οὖν. εἶναι δὲ καὶ ὅλον τοῦ Ξανθίου. Κατάθου.] ἀπειλῶν τῷ Διονύσῳ ταῦτά φησι.

Bisetus. Χὤπως ἐρεῖς] ὑπακουστέον ὅρα, ἢ σκόπει.

Σχόλια. Μηδὲν ψεῦδος.] ὁ γὰρ τόπος οὐ δέχεται ψεῦδος ὅπου παρακεῖσις. τὸ δὲ ἀγορεύω ἐν ὀργῇ λέλεκται. Ταῦτ᾽ ἀκούεις.] ὁ παρὰ τοῦ Πλούτωνος τοῦτό φησι Ξανθίᾳ. ἀντὶ τοῦ ὄντως εἶ δοῦλος. Οὐ καὶ σὺ τύπτει.] τύπτει δευτέρου προσώπου Ἀττικῶς. τινές φασι τοῦ Ξανθίου ὅλον εἶναι· τινὲς δὲ τοῦ Διονύσου, πρὸς τὸν Ξανθίαν. θεὸς γὰρ ὁ Ἡρακλῆς ὃν ὁ Ξανθίας ἐμιμεῖτο. Ἢ προτιμήσαντά τι.] φροντίσαντα τῶν πληγῶν, κατὰ τοὺς Ἀττικούς. ἢ ἐπιστραφέντα, τοῦ δακρῦσαι ἢ ἀποιμῶξαι ἕ-

F νεκα. Παρακινήσαντα.] κινηθέντα. σαλευθέντα. ἐκτραπέντα τοῦ καθεστηκότος. ἢ αἰσθανθέντα, παρόσον ὁ αἰσθανόμενος μάστιγος, κινεῖται. Ἤδη ᾽πάταξας.] πιθανὸν τὸν Ξανθίαν πρώτως τύπτεσθαι. οὕτω γὰρ, καὶ τὸ, οὐ μὰ Δί᾽ ἀλλ᾽ ἐφρόντισα, ὁ τὸν Ἡρακλέα τὰ ἐν Διομείοις. τινὲς μὲν ὅτι Ξανθίας, εἰς αὐτὸν γὰρ ἐλεύσεται, ὡς ἅτε δὴ Ἡρακλέα τέως ὄντα. τινὲς δὲ ὅτι Διόνυσος. ἔχει δὲ καὶ τοῦτο λόγον, ὅτι θεράπων νῦν ἐστιν ὁ Διόνυσος, καὶ πρῶτος τύπτεται, προσποιεῖται γοῦν ὁ ἕτερος μὴ αἰσθάνε-
G σθαι. λέγων, οὐδ᾽ ἐμοὶ δοκεῖς. Πηνίκα.] μὴ αἰσθανόμενος ὡς αὐτὸς ὁ Διόνυσος λέγει. πότε με ἔτυψας. Κᾆτα πῶς οὐκ ἔπταρον.] οὐκ ᾐσθόμην. ὁ γὰρ πταρμός, κεφαλῆς αἴσθησις. ἢ ἐπεὶ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει, πταρνῦνται. ἢ ὀσφραίνονται προσενεγκόντες. οὕτω φησὶν ἥψατό μου ἡ πληγή, ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος. Οὔκουν ἀνύσεις.] οὐ σπεύδεις, αὐτὸς ὁ μαστιγούμενος ἐπικελεύων τῷ τύπτοντι.